Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: dwu-aa

*Ἵππυς ὁ Ῥηγῖνος* · Hippys of Rhegium

# Chronicles of Peoples and Myths

## *Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

t1-6 ΧΡΟΝΙΚΑ. ἐν βιβλίοις ε′. Schol.

1 Apoll. Rh. IV, 262: Ἵππυς τοὺς Αἰγυπτίους ἀρχαιοτάτους γεγονέναι λέγει, καὶ πρώτους στοχάσασθαι τῆς τοῦ ἀέρος κράσεως· καὶ γονιμώτατον εἶναι τὸ τοῦ Νείλου ὕδωρ. Stephan.

2 Byz. v. Ἀρκάς: Ἵππυς δὲ ὁ Ῥηγῖνος λέγεται πρῶτος καλέσαι Προσελήνους τοὺς Ἀρκάδας, καὶ τὸ ἄστρον λέγεται ἐν τῷ οὐρανῷ τότε ἄρκτος κληθῆναι, ἣ ἅμαξα λέγεται. Schol.

3a Eur. Med. 10 de Medea: Περὶ δὲ τῆς εἰς Κόρινθον μετοικήσεως Ἱππεὺς (corr. Ἵππυς) ἐκτίθεται καὶ Ἑλλάνικος. Schol.

3b Eur. Med. 20: Μήδειαν ὑπὸ Ἀκάστου ἐκπεσοῦσαν σὺν Ἰάσονι Ἱππότης ὑπεδέξατο Κρέοντος τοῦ Λυκαίθου. Ὁ Λύκαιθος δὲ, ἐπεὶ Βελλεροφόντης ᾤχετο, ἦρξεν ἔτη κζ′, ἔπειτα Κρέων λ′, εἶτα Ἱππότης. Ἐπεὶ δὲ Ἰάσων ἔγημε τὴν Ἱππότου θυγατέρα, τότε δὴ κτείνασα τοὺς παῖδας αὐτῆς, ἀπαλλάσσεται πρὸς Αἰγέα. Zenob.

4 III, 42: Δῶρον δ ’ ὅ τι δῷ τις ἐπαίνε ι: Αὕτη κόμμα ἐστὶ χρησμοῦ τοῦ δοθέντος Μυσκέλλῳ τῷ Ῥυπὶ, καθ’ ὃν δὴ χρόνον Κρότωνα οὐκ ἐβούλετο οἰκίζειν, [ἀλλὰ] Σύβαριν, ὥς φησιν Ἵππυς ἐν τῷ Περὶ χρόνων. Φησὶ δὲ οὕτως ἔχειν τὸν χρησμόν· Μύσκελλε βραχύνωτε, παρὲκ θεὸν ἄλλα ματεύων κλαύματα θηρεύσεις· δῶρον δ’ ὅτι δῷ (ὃ διδῷ?) τις ἐπαίνει. Antigonus Hist.

5 Mir. c. 121 (133): Ἵππυς δὲ ὁ Ῥηγῖνος [περὶ τῶν λεγομένων τόπων φθείρειν τὰ ἐμπίπτοντα] τοιοῦτόν τι γράφει· φησὶν ἐν Ἀθήναις ἐπὶ βασιλέως Ἐπαινέτου (Ὀλυμπιάδος ἕκτης καὶ τριακοστῆς, ἐν ᾗ Ἀρυτάμας Λάκων νικᾷ στάδιον) τῆς Σικελίας ἐν Παλίκοις οἰκοδομηθῆναι τόπον, εἰς ὃν ὅστις ἂν εἰσέλθῃ, εἰ μὲν κατακλιθείη, ἀποθνήσκειν, εἰ δὲ περιπατοίη, οὐδὲν πάσχειν. Plutarch.

6 De Orac. def. c. 23: Ἵππυς δὲ ὁ Ῥηγῖνος (οὗ μέμνηται Φανίας ὁ Ἐρέσιος) ἱστορεῖ δόξαν εἶναι ταύτην Πέτρωνος καὶ λόγον, ὡς ἑκατὸν καὶ ὀγδοήκοντα καὶ τρεῖς κόσμους ὄντας, ἁπτομένους δ’ ἀλλήλων κατὰ στοιχεῖον· ὅ τι δὴ τοῦτ’ ἐστὶ, κατὰ στοιχεῖον ἅπτεσθαι, μὴ προσδιασαφῶν, μηδ’ ἄλλην τινὰ πιθανότητα προσάπτων. [ΣΙΚΕΛΙΚΑ.

### ] Athenaei Epit.

7 : Ἵππυς δὲ ὁ Ῥηγῖνος τὴν εἰλεὸν καλουμένην ἄμπελον βιβλίαν φησὶ καλεῖσθαι· ἣν Πόλλιν τὸν Ἀργεῖον, ὃς ἐβασίλευσε Συρακοσίων, πρῶτον εἰς Συρακούσας κομίσαι ἐξ Ἰταλίας. Εἴη ἂν οὖν ὁ

παρὰ Σικελιώταις γλυκὺς καλούμενος Πόλλιος ὁ Βίβλινος οἶνος. Χρησμός· Πῖν’ οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις, οὐδ’ ἱερὰν Ὑπέραν, ὅθι γ’ ἄτρυγον οἶνον ἔπινες. [ΑΡΓΟΛΙΚΑ.

**] Aelian.**

8 N. A. IX, 33: Τεκμηριῶσαι τοῦτο καὶ Ἵππυς ἱκανός. Ὃ δὲ λέγει ὁ συγγραφεὺς ὁ Ῥηγῖνος, τοιόνδε ἐστίν· γυνὴ εἶχεν ἕλμινθα, καὶ ἰάσασθαι αὐτὴν ἀπεῖπον οἱ τῶν ἰατρῶν δεινοί· οὐκοῦν εἰς Ἐπίδαυρον ἦλθεν, καὶ ἐδεῖτο τῶν θεῶν ἐξάντης γενέσθαι τοῦ συνοίκου πάθους. Οὐ παρῆν ὁ θεός· οἱ μέντοι ζάκοροι κατακλίνουσι τὴν ἄνθρωπον ἔνθα ἰᾶσθαι ὁ θεὸς εἰώθει τοὺς δεομένους· καὶ ἡ μὲν ἄνθρωπος ἡσυχάζει προσταχθεῖσα, [καὶ] οἵ γε μὴν ὑποδρῶντες τῷ θεῷ τὰ ἐς τὴν ἴασιν αὐτῇ ἐποίουν· καὶ τὴν κεφαλὴν μὲν ἀπὸ τῆς δέρης ἀφαιροῦσι, καθίησι δὲ τὴν χεῖρα ὁ ἕτερος, καὶ ἐξαιρεῖ τὴν ἕλμινθα, θηρίου μέγα τι χρῆμα· συναρμόσαι δὲ καὶ ἀποδοῦναι τὴν κεφαλὴν ἐς τὴν ἀρχαίαν ἁρμονίαν οὐκ ἐδύνατο οὐκέτι. Ὁ τοίνυν θεὸς ἀφικνεῖται, καὶ τοῖς μὲν ἐχαλέπηνεν, ὅτι ἄρα ἐπέθεντο ἔργῳ δυνατωτέρῳ τῆς ἑαυτῶν σοφίας· αὐτὸς δὲ ἀμάχῳ τινὶ καὶ θείᾳ δυνάμει ἀπέδωκε τῷ σκήνει τὴν κεφαλὴν, καὶ τὴν ξένην ἀνέστησεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org